

Ἡ Φλωρεντία (σελ. 438).

## ΠΡΟΚΗΡΥΞΙΣ.

*περὶ συνεδρίου ἐπιστημονικοῦ συγκροτήσεως, σοφῶν ἀνδρῶν Βρεττανῶν ὑπογραφαῖς σεσημασμένη δυεῖν καὶ ἑξήκοντα.*

Ἐν Ἐδεμβούργῳ αωξ΄. Τῶν αὐγουσταίων ἑβδομάδων μιᾷ ξύλλογον ἐπιστήμονα, ὁσέτειον καὶ πάνδημον ἀνδρῶν ποιεῖσθαι τῶν εἰδικῶς ἐκ παντὸς γένους ἐπιστημόνων, ἐπιστήμης ἕνεκεν ἐν τοῖς ἑκασταχοῦ ἐκ περιτροπῆς ξυνιόντων Εὐρωπαϊκαῖς μητροπόλεσι, πρὸς ἡμῶν πραγματεύεται. Φωνῇ μὲν οὖν χρήσεσθον δύο μὲν τῶν ἓξ τουτωνὶ παγκοίνων τῆς ἑβδομάδος ξυνεδριῶν τῇ Τευτονικῇ, δύο δ' αὖ τῇ Βρεττανῶν καὶ δύο ἣν οἱ Γαλατῶν φθέγγονται παῖδες (α). Η δὲ πρόθεσις ἥδε μάλιστα' εἴ πού τίς τι ποτ' ἐξαίροι μονῆρες εὕρημα, τοῦτο φέροντα τῷ ὅλῳ τῆς ἐπιστήμης ἐναρμόττειν καὶ ἐγκεντρίζειν συστήματι καὶ τὴν τέως ψιλὴν καὶ ἐπιεικῶς ἰδιώτην εὕδησιν ἐπὶ θεωρίας ἔκφαντον ἀνάγειν ἀκρότητα. Τάχα δ' οὖν ἀνδράσι φρενῶν εὖ ἥκουσι ξύλλογον τοιουτονὶ καθιεῖν ἐπαγγέλλεσθαι Ἀτλαντίδ' ἄντικρυς, τὴν ἀνέρικτον καὶ πόῤῥω που ἀφεστηκυῖαν ἐκείνην οὐχ ἧττον ἐπιζητεῖν, ἢ καὶ Κολήμβος τοῖς προτοῦ γεωγράφοις, ἂν δόξειε' καὶ μὴν τῆς καθ' ἡμᾶς, ὡς ἔοικεν, Ἀτλαντίδος ἐξικέσθαι τοτὲ ὅτι πᾶσα ἀνάγκη. Ταύτῃ τοι τὴν μὲν πρώτην ξύνοδον ἐν Παρισίων Λουκοτετίᾳ τοὐπιόντος εὐθὺς ἐκκλησιάζειν αὐγούστου (αωξ΄) εὐθαρσῶς ἐσηγούμεθα, οὐμὴν ἐν πολυκρότοις καὶ πανηγυρικαῖς σεμνυνομένην πομπαῖς, ὡς ἂν μὴ τὸ τῆς τελετῆς κομιδῆ λιτὸν, πρὸς τὴν γιγάντειον ἀμέλει ἀντεξεταζόμενον ξύλληψιν, τοῖς θεασομένοις γέλων ἁμωσγέπως ὀφλήσῃ. Τὴν δὲ μετὰ ταύτην εἰκότως ἅμα τῇ μεγάλῃ τοῦ αωξά ἔτους Λονδινείῳ διαθέτει (εἴτε παγκοσμίῳ ἐκθέσει) ἐκεῖσε ποιοίμεθ' ἄν' εἶθ' οὕτω τὴν τρίτην Βερολινόθι, καὶ αὖθις ἐν Πέτρου καὶ Κωνσταντίνου ταῖν πόλεοιν ἐν τῷ μέρει, καὶ Οὐινδοβόνῃ, καὶ Στοχόλμῃ καὶ Παρθενόπῃ ἑξῆς, καὶ Βρυξέλλαις, καὶ Μαδρίτῳ, καὶ Ἄγῃ, καὶ Ἀφνείᾳ (ἢ Κοδανίᾳ), καὶ Ὀλισίπωνι, Μοναχίῳ τε καὶ Ἀρκτοπόλει (Βέρνῃ), καὶ Δρέσδῃ καὶ Ταυρίνων Αὐγούστῃ, καὶ Ἀνοβρίᾳ (ἢ Ἀνοβέρᾳ), κἂν τῷ Δουβλανῶν Λιμένι, καὶ ἐν Στουτγάρδῃ καὶ, τοῦ ἔτους αωο΄ ἐπιφανέντος, ἐν Ἐδεμβούργῳ. Ἐν γοῦν τοῖς τοῖς παροῦσι νῦν χρόνοις, ὡς ἐνῆν μάλιστ' εὖ καὶ κράτιστα τὰ τῶν διάπλων καὶ λεωφόρων ἐξειργασμένα τε καὶ κατηρτισμένα, πολλῷ ἄλλα δὴ τῷ μέτρῳ εὐμαρεστέραν τὴν τῶν πόλεων καὶ χωρῶν, καὶ τῶν ὡς πορρωτάτω διεστωσῶν (Νέας, φημὶ, Ὑόρκης καὶ Γόθας, Καλκούτης καὶ Φραγκοφόρτης, Βηγότης, Οὐασιγκῶνος καὶ Καρλοῤῥούης) ἐπιμιξίαν, ὡς εἰκὸς, ἀπεργάσεται, ἢ ὡς τὰ πρώην ἐπὶ Ὠκῆνος (Oken), ἡνίκα χαλεπὸν ἦν, Ἡράκλεις, ἀνὰ τὴν βό-

(α) Ὅταν δὲ τοιοῦτό ποτε συνέδριον λύσῃ ἐριστικῶς καὶ ἀμεταθέτως τὸ τῇ Εὐρώπῃ συμπάσῃ σπουδαιότατον, εἴ τι καὶ ἄλλο, περὶ προφορᾶς τῆς Ἑλληνικῆς ζήτημα, τότε καὶ ἑλληνιστὶ ἢ ὅλως ἢ ἐν μέρει γοῦν ἀγορεύσουσιν οἱ συνεδριάσαντες πάντως. Εὐχὴ καὶ ἐλπὶς τοῦ Μεταφρ.

ρειον καὶ τὴν πρὸς νότον τετραμμένην Τευτονικὴν χωρίον ἑλέσθαι, καλῶς καὶ ἐν ἐπικαίρῳ κείμενον, ἵνα ὁ φυσιολογικὸς ἐκεῖνος συνεξεκκλησίαζεν ἂν ξύλλογος, ὅθεν ὁ *Βρεττανικὸς* ἀνέθορε *ξύνδεσμος* (associatio), ἀρχὴν εἰληφώς· καίτοι γε πείρᾳ καὶ χρόνῳ κύκλον ἐνδέχεται στενώτερον δοκιμάζεσθαι, τῶν Παρισίων, φέρ' εἰπεῖν, τοῦ Λονδινίου, τοῦ Βερολίνου καὶ ἔστιν ὧν μητροπόλεων ἐναλλαττομένων. . . .

Τοιγαροῦν πρὸς ἐπίδοσιν ἐγχειρήματος τηλικούτου εἴτις τὸ μετὰ χεῖρας προκήρυγμα μεταγλωττίζειν ἐθέλοι μὴ ὅτι ἐς Εὐρωπαΐα, καὶ ἐς Ἀσιατικὰ δὲ καὶ Λυδικὰ καὶ Λυδικὰ καὶ ἄλλ' ἰδιώματα, ἅττα καὶ ὅπου περ γένη καὶ φῦλα φθέγγεται πολυάνθρωπα (Ἀραβιστί τε καὶ Συριστί, καὶ Ἀμχαριστὶ ἢ Αἰθιοπιστί, Σινιστί τε καὶ Ιαπωνιστί κλ.), ἴστω τὰ λῷστα καὶ κεχαρισμένα ἡμῖν καὶ τῇ ἐπιστήμῃ δράσων. Προσδεχοίμεθα μὲν γὰρ οὔποτε Μουφτίδων καὶ Σουφιδῶν, Βραμινῶν καὶ Μανδαρίνων στίφη τῷ καθ' ἡμᾶς ξυλλόγῳ ξυμπαρεδρεύσειν, οὐδ' ὁπωστιοῦν· οὐ μέντοι οὐκ ἔσθ' ὅπως τὴν ἀρχὴν ἀξυντελὲς τῇ συγκριτικῇ γένοιτ' ἂν φιλολογίᾳ καὶ τῇ ἐθνογραφίᾳ, τῇ τε ἱστορίᾳ καὶ τῇ νομισματικῇ, ἔς τ' ἀλφαβήτου κοινοῦ ἀπόδειξιν καὶ τὰ παραπλήσια, εἴπως πότ' ἄνδρας τινάς, τῆς τῶν απωτάτω χωρῶν, ὡς ἔπος εἰπεῖν, παιδεύσεως καὶ τῆς ἄλλης τῆς περὶ τὸν βιον εὐμουσίας ὥσπερ προξενοῦντας, τοῖς πρὸς ἑσπέραν καὶ ἄρκτον σοφοῖς ἐντυγχάνειν καὶ συγχρωτίζεσθαι οἷόν τε ὂν τοῖς ἔργοις φανείη. Ἐκεῖνο δὲ δή φαμεν τελευτῶντες, τῶν πραγματειῶν τὰς τοιαύτας μηδὲν μᾶλλον ἐς τὸ αὐτίκα, ἢ ἐς τὴν μεθ' ἡμᾶς ἡλικίαν προσήκειν πάσας πάντως ἀπολογίζεσθαι. Τοὐφ' ἡμᾶς μὲν οὖν ἅλις.

Ὅτοι δὲ πλείω καὶ ἀκριβέστερα τοῦ προγράμματος περὶ καθόλου τε καὶ ἰδίᾳ εἰδέναι βουλήσονται, τοὺς ἐν Ἐδεμβούργῳ μετιόντων καθηγουμένους Μ. Δ. Σίμψωνα καὶ Στρούθηρον (M. Δ. Simpson et Struthers, professores).

Ἐξελλήνιζεν εκ τοῦ Γερμανικοῦ ἰδιώματος ἐν Βερολίνῳ τῷ κατὰ Βορουσίαν, μηνὸς Δεκεμβρίου ζ' ἱσταμένου (ε.ν.), Θεογονίας ἔτει ͵αωξ'.

ΕΥΣΤΑΘΙΟΣ ΚΛΕΟΒΟΥΛΟΣ
Διάκονος Ἕλλην.

---

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΙΚΕΡΜΙ ΑΝΕΥΡΕΘΕΝΤΩΝ ΠΡΟΚΑΤΑΚΛΥΣΜΑΙΩΝ ΖΩΩΝ.

—οοο—

Μεταξὺ τῶν πολλῶν ἐπιστημονικῶν θησαυρῶν, οὓς ἡ ἑλληνικὴ γῆ ἐγκλείει εἰς τὰ ἑαυτῆς σπλάγχνα, ἄξιοι λόγου εἰσὶ καὶ αἱ ἐκ σκελετῶν προκατακλυσμαίων ζώων ἀπολιθώσεις, αἱ εὑρεθεῖσαι πλησίον τῶν Ἀθηνῶν εἰς τὸ μικρὸν χωρίον Πικέρμι, ὅπου ἀνεκαλύφθησαν διὰ τῆς ἀνασκαφῆς πολύτιμα τμήματα ἀπολιθώσεων, ἀνήκοντα εἰς ζῶα μὴ ὑπάρχοντα σήμερον. Ἐπὶ τοῦ θησαυροῦ τούτου ἔστρεψαν τὴν προσοχήν των ἅπαντες οἱ περὶ τὰς ἀπολιθώσεις καταγινόμενοι ἐπιστήμονες τῆς Εὐρώπης, ἅμα γνωστοποιηθείσης τῆς εὑρέσεως διὰ τῶν ἑλληνικῶν ἐφημερίδων, καὶ πολλαὶ τῶν ἐν Εὐρώπῃ Ἀκαδημιῶν ἀπέστειλαν ἄνδρας σοφούς, οἵτινες ἀνασκάψαντες μετεκόμισαν εἰς τὰ μουσεῖα τῆς Εὐρώπης ἐκ τῶν ἀπολιθώσεων τούτων, ἃς καὶ θεωροῦσιν ὡς ἀξιολογώτατα κειμήλια. Ἰδοὺ τὰ ὀνόματα τῶν ζώων, εἰς ἃ ἀνήκουσι τὰ ἀνευρεθέντα ὀστᾶ. Μεσοπίθηκος ὁ πεντελήσιος, **Mesopithecus pentelisius**, Μεσοπίθηκος ὁ ἐλάσσων, **M. Minor**, Ἀδδηφάγιος ὁ πρωτογενής, **Gulo primigenius**, Ἰκτιόθηρ ὁ κηββετοειδής, **Ictitherium viverrinum**, Ὕαινα ἡ ἐξαίρετος **Hyaenia eximia**, Λύκος ὁ πρωτογενὴς **Canis Lupus primigenius**, Μαχαιρόδους ὁ Λεοντοειδής, **Machairodus leoninus**, Κάστωρ ὁ Ἀττικός, **Castor Atticus**, Μακρόθηρ ὁ ἀπροσδιόριστος, **Macrotherium indeterminatum**, Σῦς ὁ ἐρυμάνθιος **Sus Erimanthius**, Ῥινόκερως ὁ Σχλειερμαχείρου, **Rhinoceros Schlyermacher**, Μαστόδους ὁ στενόδους, **Mastodon angustidens**, Ἀντιλόπη ἡ Λινδερμεϋρίου, **Antilope Lindermeyers**, Ἀντιλόπη ἡ βραχύκερως, **Antilope brevicornis**, Ἀντιλόπη ἡ εὐειδής, **Antilope speciosa**, Αἴξ ἡ Ἀμάλθεια, **Capra Amalthea**, Βοῦς ὁ Μαραθώνιος, **Bos Marathonius**, Ἱππόθηρ ὁ ῥαδινός, **Hippotherium gracile seu mediterraneum.**

Πλὴν τούτων εὑρέθησαν καὶ ἄλλα οὐκ ὀλίγα παρὰ πολλῶν διασήμων εὐρωπαίων ἐπιστημόνων.

Ἐπειδὴ δὲ τὰ ζῶα ταῦτα ὡς ἐκ τῆς φύσεως αὐτῶν δὲν ἦσαν ἐγχώρια τῆς Ἑλλάδος, εἰκάζεται ὅτι μετέβησαν ἐκ τῆς Ἀφρικῆς διὰ ξηρᾶς εἰς τὴν Ἑλλάδα, καὶ τοιουτοτρόπως ὑπάρχει πιθανότης ἢ μᾶλλον βεβαιότης ὅτι ἡ Ἑλλὰς συνείχετο κατὰ τοὺς ἀρχαιοτάτους χρόνους μετὰ τῆς Ἀφρικῆς, ὅθεν μετέβησαν καὶ κατεστάθησαν ἐνταῦθα.

Τὰ ὀστᾶ ταῦτα εἰσὶ περιβεβλημένα ὑπὸ ἀργιλλώδους γῆς, μεταβληθείσης διὰ τῆς ἐνεργείας τοῦ κεντρικοῦ πυρὸς καὶ τοῦ ὕδατος εἰς σιδηρᾶν μάζαν. Ὑπάρχουσιν ἀναμφιβόλως ἐν ἀφθονίᾳ καὶ ἄλλαι ἀπολιθώσεις ἐν Πικέρμι, καὶ διὰ τοῦτο ἐπικαλούμεθα εἰς αὐτὰς τὴν προσοχὴν τῆς βασιλικῆς κυβερνήσεως· διότι ἀνταλλάσσουσα ταύτας, δύναται νὰ πλουτίσῃ πάσας τὰς ἐπιστημονικὰς συλλογὰς τῆς Ἑλλάδος.

ΛΑΝΔΕΡΕΡ.

---

## ΠΑΡΟΡΑΜΑΤΑ.

(Φυλλάδιον 282).

| *Σελ.* | *στήλ.* | *στίχ.* | *ἀντὶ* | *γράφε.* |
|---|---|---|---|---|
| 1 | 1 | ιβ' | κακὰ | καινὰ |
| » | » | ιε' | περιλέλειπται | οὐ περιλέλειπται |
| » | » | ιη' | τιθέμεναι | τιθεμένη |
| » | » | ιθ' | ἄντικρυ | ἄντικρυς |
| » | 2 | δ' | ἧς περὶ | ἧς πέρι |
| 2 | 1 | μγ' | εὐφυῆ | εὐφυεῖ |
| » | » | με'—μς' | παρὰ τῶν | παρὰ τοῦ τῶν κατὰ Βρεττανίαν τῶν ἀρχαιολόγων Συλλόγου |
| » | » | μς' | εὐμιλετήσας | ἐκμελετήσας |
| » | » | μθ' | ἐξαιρῶν | ἐξευρῶν |
| » | » | να' | ἄλλως | ἄλλοι |
| 1 | » | νγ' | κεχωρισμένον | κεχωσμένον |
| » | 2 | θ' | τραχέος | τραχέσι |
| » | » | ις' | ἐχούσης | ἐχούσας |
| » | » | κα' | ἀπ' ἀρχὴν | ἀπαρχὴν |
| » | » | μθ' | 1742 | 1842 |